τας, ἐνεργοῦντας. ἀλλαχοῦ δὲ ἐφ᾽ ἑτέρων δηλοῖ τὸ καθίστασθαι, διατάττειν, διακοσμεῖν. Σ. τὸ δὲ μηδομένους, ἀντὶ τοῦ βουλευομένους. Σ. μήδεσθαι δὲ, τὸ βουλεύεσθαι νῦν. ἀλλαχοῦ δὲ, τὸ μηχανᾶσθαι, καὶ ἐπιβουλεύειν. παρὰ τὸ μῆδος, ὃ σημαίνει τὴν φροντίδα, τὴν βουλὴν, καὶ τὴν ἐπιβουλήν. ἔστιν ὅτε βουλὴ, καὶ μῆδος συνωνύμως τίθεται. Ομηρος Ιλ. Β. A

Εν πυκὶ δὴ βουλαί τε γενοίατο, μήδεά τ᾽ ἀνδρῶν.

Μήδεα καὶ τὰ αἰδοῖα καλεῖται. Ομηρος Οδυσ. Σ.

Μήδεά τ᾽ ἐξερύσας δῶκε κυσὶν ὠμὰ δάσασθαι.

καὶ Ησίοδος ἐν Θεογονίᾳ „ φίλα δ᾽ ἀπὸ μήδεα πατρὸς,

Εσσυμένως ἤμησε. τοῦ δὲ μήδεσθαι, ὅταν δηλοῖ τὸ μηχανᾶσθαι, καὶ ἐπιβουλεύειν, παράδειγμα ἔχομεν Ομήρου Ιλ. Ζ.

Ωπασεν. αὐτὰρ οἱ Προῖτος κάκ᾽ ἐμήσατο θυμῷ.

B καὶ ἐν τῷ Η.

Παννύχιος δέ σφιν κακὰ μήδετο μητίετα Ζεύς.

Οσια καὶ νόμιμα μηδομένοις
Ποιεῖν ὅτι καλῶς ἔχει.
Κἂν μὴ ποιῶσιν ταῦτα τοιάδ᾽ ἔσται.
Αὐτῶν ὅτ᾽ ἂν ληφθῇ τις ἀνόσια δρῶν
Μανίαις φλέγων
Λύσσῃ παράκοπος.
Εἴτι δρῶν πᾶσιν ἐμφανὴς ὁρᾶν
Εσται γυναιξὶν καὶ βροτοῖς,
Οτι τὰ παράνομα τἀνόσια θεὸς
Αποτίνεται.
Παραχρῆμά τε γίνεται.
Χο. Αλλ᾽ ἔοιχ᾽ ἡμῖν ἅπαντά πως διεσκέφθαι καλῶς.
Οὐχ ὁρῶ μέν γ᾽ οὖν ἔτ᾽ ἄλλον οὐδέν᾽ ἐγκαθήμενον.

*Sancta & legitima consulentes,*
*Facere quod bene se habet.*
*Et si non fecerint hæc, talia supplicia erunt.*
*Ipsorum deprehensus fuerit aliquis, impia faciens,*
*Furoribus ardens,*
C *Rabie insanus & furiosus,*
*Si quid faceret omnibus manifestus visu*
*Erit mulieribus & mortalibus,*
*Quod iniqua & impia Deus*
*Vlciscitur,*
*Statimque fit vltio.*
Cho. *Sed videntur nobis omnia quodammodo explorata fuisse bene,*
*Non video quidem igitur alium nullum sedentem.*
D

Bourdinus. Μηδομένους.] φροντίζοντας καὶ ἐπιμελουμένους. Μανίαις φλέγων.] καθ᾽ ὑπερβολὴν μαινόμενος, ἐκκαυθεὶς τῇ μανίᾳ. Λύσσῃ παράκοπος] τουτέστι φρενετιάζων. λέγεται γὰρ ἡ φρενῶν παρακοπὴ φρενιτίασις. καὶ παρακοπῆναι τὸν νοῦν, ἔστι τὸ παρατραπῆναι, ἐκτραπῆναι, ἐκστῆναι, καὶ ἐξενεχθῆναι τῶν φρενῶν. Αποτίνεται.] θεὸς, φησὶν, τιμωρίαν ἀπαιτεῖ, λαμβάνει καὶ ἐκδικεῖ τ᾽ ἀνόσια καὶ παράνομα βίαιά τε καὶ ἄδικα ἔργα. ἀποτίνεσθαι γὰρ σημαίνει τὸ τὴν δίκην ἀπαιτεῖν καὶ τιμωρίαν. ἀποτίσεις δὲ χ᾽ αἱ τῶν τιμωριῶν λήψεις καὶ ἀπαιτήσεις λέγονται. Παραχρῆμα.] παραυτίκα παρ᾽ αὐτὸ τὸ χρῆμα, καὶ πρᾶγμα, ὅπερ ἐστὶν ἐν τῷ παρόντι, ἀπαιτεῖ ταύτην τὴν δίκην. Διεσκέφθαι.] διερευνῆσθαι καὶ διεζητῆσθαι καλῶς.

Bisetus. Λύσσῃ παράκοπος] λύσσα, εἴτε λύσση, ἡ μανία. λύσσῃ παράκοπος, μανίᾳ παρακοπείς. παρακοπὴ φρενῶν, ἡ φρενιτίασις. Αποτίνεται] τιμωρεῖ. ἐκδικεῖ. κολάζει. τὸ δὲ ἀποτίνεσθαι, ἀντὶ τοῦ ἀποτίνειν. ὃ καὶ ἀποτιννύναι, καὶ ἀποτίννυσθαι λέγεται ἀττικόν. τούτου δὲ πολλὰς σημασίας παρ᾽ Εὐσταθίῳ εὕροις. παραχρῆμα, παραυτίκα, εὐθέως.
E

## ΓΥΝΗ, ΜΝΗΣΙΛΟΧΟΣ, ΧΟΡΟΣ, ΑΛΛΗ ΓΥΝΗ.

Γυ. Αα. ποῖ σὺ φεύγεις; οὗτος, οὗτος οὐ μενεῖς;
Τάλαιν᾽ ἐγὼ τάλαινα, καὶ τὸ παιδίον
Εξαρπάσας μοι φροῦδος ἀπὸ τῆς τιτθῆς.
Μν. Κέκραχθι, τοῦτο δ᾽ οὐδέποτε σὺ ψωμιεῖς
Ην μή μ᾽ ἀφεῖτ᾽. ἀλλ᾽ ἐνθάδε ἐπὶ τῶν μηρίων
Πληγὲν μαχαίρᾳ τῇδε φοινίας φλέβας
Καθαιματώσει βωμόν. Γυ. ὦ τάλαιν᾽ ἐγώ.
Γυναῖκες οὐκ ἀρήξετ᾽; οὐ πολλὴν βοὴν
Στήσεσθε τρόπαιον; ἀλλὰ τοῦ μόνου
Τέκνου με περιόψεσθ᾽ ἀποστερουμένην;

Mvl. *Ah ah, quò tu fugis, heus tu, heus tu non manebis?*
F *Misera ego misera, & infantem*
*Cũ eripuerit mihi à papilla, euanid⁹ est, & fugit.*
Mn. *Clama, hunc verò nũquã tu Mania nutries,*
*Nisi me dimiseritis. sed hic in cruribus*
*Vulneratus gladio hoc, rubras & cruentas venas*
*Cruentabit aram.* Mvl. *O miseram me,*
*Mulieres nónne auxiliabimini? nónne per permultum clamorem*
G *Erigetis trophæum, sed vnico*
*Filio me negligetis priuatam?*

Bourdinus. Αα] ἐνταῦθα ἐπίρρημά ἐστι μεστὸν ἐκπλήξεως, καὶ ταράξεως. Φροῦδος.] φεύγει καὶ ἀφανής ἐστιν. Ψωμιεῖς.] θρέψῃ. τοῦτο δὲ ῥῆμα κύριόν ἐστι τῶν τιτθῶν τρεφουσῶν τὰ παιδία καὶ κατὰ μικρὸν αὐτοῖς φαγεῖν παρεχουσῶν καὶ ψώμια διδουσῶν, τουτέστι μικροὺς ψωμοὺς τοῦ ῥαδίως καταφαγεῖν. κατὰ μεταφορὰν δὲ καὶ τὸ ψωμίζειν, σημαίνει φενακίζειν ἐξαπατᾶν τε καὶ παρακρούεσθαι, ἀπὸ τῶν μικρῶν παιδίων ἅπερ ὑπόκειται τῇ τῶν δι-